Judith 10:14-22
AGE Ch. 32

This reading is set during a war between the Israelites and the Assyrians. The heroic widow Judith dresses herself up and goes to be captured. She tells the Assyrian guards that she has important information for the chief general of the Assyrians, a man named Holofernes.

(14.) ὡς δὲ ἤκουσαν οἱ ἄνδρες τὰ ῥήματα αὐτῆς καὶ κατενόησαν τὸ πρόσωπον αὐτῆς—καὶ ἦν ἐναντίον αὐτῶν θαυμάσιον τῷ κάλλει σφόδρα—καὶ εἶπαν πρὸς αὐτήν, (15.) Σέσωκας τὴν ψυχήν σου σπεύσασα καταβῆναι εἰς πρόσωπον τοῦ κυρίου ἡμῶν· καὶ νῦν πρόσελθε ἐπὶ τὴν σκηνὴν αὐτοῦ, καὶ ἀφ᾽ ἡμῶν προπέμψουσίν σε, ἕως παραδώσουσίν σε εἰς χεῖρας αὐτοῦ· (16.) ἐὰν δὲ στῇς ἐναντίον αὐτοῦ, μὴ φοβηθῇς τῇ καρδίᾳ σου, ἀλλὰ ἀνάγγειλον κατὰ τὰ ῥήματά σου, καὶ εὖ σε ποιήσει. (17.) καὶ ἐπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκατὸν καὶ παρέζευξαν αὐτῇ καὶ τῇ ἅβρᾳ αὐτῆς, καὶ ἤγαγον αὐτὰς ἐπὶ τὴν σκηνὴν Ολοφέρνου. (18.) καὶ ἐγένετο συνδρομὴ ἐν πάσῃ τῇ παρεμβολῇ, διεβοήθη γὰρ εἰς τὰ σκηνώματα ἡ παρουσία αὐτῆς· καὶ ἐλθόντες ἐκύκλουν αὐτήν, ὡς εἱστήκει ἔξω τῆς σκηνῆς Ολοφέρνου, ἕως προσήγγειλαν αὐτῷ περὶ αὐτῆς. (19.) καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει αὐτῆς καὶ ἐθαύμαζον τοὺς υἱοὺς Ισραηλ ἀπ᾽ αὐτῆς, καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ Τίς καταφρονήσει τοῦ λαοῦ τούτου, ὃς ἔχει ἐν ἑαυτῷ γυναῖκας τοιαύτας; ὅτι οὐ καλόν ἐστιν ὑπολείπεσθαι ἐξ αὐτῶν ἄνδρα ἕνα, οἳ ἀφεθέντες δυνήσονται κατασοφίσασθαι πᾶσαν τὴν γῆν, (20.) καὶ ἐξῆλθον οἱ παρακαθεύδοντες Ολοφέρνῃ καὶ πάντες οἱ θεράποντες αὐτοῦ καὶ εἰσήγαγον αὐτὴν εἰς τὴν σκηνήν. (21.) καὶ ἦν Ολοφέρνης ἀναπαυόμενος ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κωνωπίῳ, ὃ ἦν ἐκ πορφύρας καὶ χρυσίου καὶ σμαράγδου καὶ λίθων πολυτελῶν καθυφασμένων. (22.) καὶ ἀνήγγειλαν αὐτῷ περὶ αὐτῆς, καὶ ἐξῆλθεν εἰς τὸ προσκήνιον, καὶ λαμπάδες ἀργυραῖ προάγουσαι αὐτοῦ. (23.) ὡς δὲ ἦλθεν κατὰ πρόσωπον αὐτοῦ Ιουδιθ καὶ τῶν θεραπόντων αὐτοῦ, ἐθαύμασαν πάντες ἐπὶ τῷ κάλλει τοῦ προσώπου αὐτῆς· καὶ πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνησεν αὐτῷ, καὶ ἤγειραν αὐτὴν οἱ δοῦλοι αὐτοῦ.

ἅβρα –ας ἡ maid
ἀνάγγειλον 2nd sg command "present (yourself) to"
ἀναγγέλλω present to
ἀναπαυόμενος –η –ον resting
ἀργυροῦς –ᾶ –οῦν silver
ἀφεθείς –εῖσα –έν released
διεβοήθη 3rd sg aorist "was the subject of talk all around"
ἐάν ~ εἰ
ἐγένετο ~ ἦν
εἰσάγω lead into
είστήκει 3rd sg pluperfect < ἵστημι "had stood"
ἑκατόν one hundred
ἐλθών –οῦσα –όν coming
ἐναντίον + gen. before
ἔξω outside
ἐπιλέγω select
εὖ well
θαυμάσιος –α –ον amazing
θεράπων –οντος ὁ servant
καθυφάσμενος –η –ον woven
κάλλος –ους τό beauty
κατανοέω observe
κατασοφίζομαι outwit
καταφρονέω despise (+ acc. or gen.)
κλίνη –ης ἡ couch
κυκλόω circle
κωνωπίον –ου τό mosquito curtain
λαμπάς –άδος ἡ lamp
νῦν now
Ὀλοφέρνης –ου ὁ Holofernes
παρακαθεύδων -οντος ὁ attendant sleepers
παραζεύγνυμι join, yoke together
παρεμβολή -ῆς ἡ encampment, barracks
παρουσία –ας ἡ presence
πεσών –οῦσα –όν falling
πλησίος –ου ὁ neighbor
πολυτελής –ές pricy, expensive
πορφύρους –ᾶ –ουν purple, deep red
προάγων –ουσα –ον preceding
προπέμπω send on
προσαγγέλλω announce to
πρόσελθε 2nd sg command "Go to"
προσκήνιον –ου τό tent entrance
προσκυνέω prostrate
σέσωκας 2nd sg perfect tense "you have saved"
σκηνή -ῆς ἡ tent
σκηνώμα –ατος τό soldiers' quarters
σμάραγδον –ου τό emerald
*σπεύσας –ασα –αν hurrying
στῇς 2nd sg < ἵστημι; translate as "you stand"
συνδρομή -ῆς ἡ rowdy gathering
σφόδρα very, very much
τοιοῦτος –αύτη –οῦτο of the same kind (as)
ὑπολείπω leave behind
φοβηθῇς 2nd sg command "be afraid"
χρυσίον –ου τό bit of gold

*declines like πᾶς, πᾶσα, πᾶν